# Τῌ ΚΒ΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ

## † Μνήμη τῆς Ἁγίας Μυροφόρου καὶ Ἰσαποστόλου Μαρίας τῆς Μαγδαληνῆς.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ΄ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους η΄
καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.
Τῆς Μυροφόρου. Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ἦχος Πα



υ υ ρι ι ι ι ε

Κα τευ θυν θη η η η η τω η προ σε ευ
χη η η η μου ως θυ μι ι ι α α
μα α α α ε νω ω ω πι ι ι ο ο ο ον
σου ε παρ σις τω ω ων χει ει ρω ων μου
θυ σι ι α ε σπε ε ρι ι νη η η ει
σα α κου ου ου σο ον μου Κυ υ υ υ ρι
ι ι ι ε

Στίχος. Εκ βα θε ων ε κε κρα ξα
σοι Κυ ρι ε Κυ ρι ε ει σα κου σον της
φω νη ης μου

Ὢ τοῦ παραδόξου θαύματος! πῶς Χριστοῦ τῶν ποδῶν, ἡ Μαρία ἥψατο καὶ πρώτη τὴν ἐκ νεκρῶν Αὐτοῦ Ἀνάστασιν, κατεῖδε ξενοπρεπῶς, ἐπιτυχοῦσα τῆς θείας ἐλλάμψεως· βοάτω πᾶς ὁ λαός, ἐν καθαρᾷ τῇ καρδίᾳ γεραίροντες, τὴν ἐν Μυροφόροις πρώτην, καὶ Εὐαγγελίστριαν· ἧς τῇ θείᾳ πρεσβείᾳ, τῶν δεινῶν ἀπαλλαττόμεθα.

Στίχος. Γε νη θη τω τα ω τα σου προ σε χον τα εις την φω νην της δε η σε ως μου

Μύρων τῶν σεπτῶν σου πάνσοφε, ἡ ὀσμὴ ἐξῆλθεν, εἲς τὰ κόσμου πέρατα, καὶ πάσας τῶν εὐσεβῶν, ψυχὰς ἐμύρισεν, τῶν πόθῳ ἐν τῇ σορῷ, σεπτῆς χειρὸς προσψαυόντων σου ἔνδοξε, ἐκ πάσης φθοροποιοῦ, νόσου καὶ πάθους λαμβάνομεν ἴασιν· ὅθεν τὴν σεπτήν σου μνήμην, νῦν πανηγυρίζομεν, καὶ αἰτοῦμεν πρεσβεύειν, ὑπὲρ τῶν ἀνευφημούντων σε.

Ε αν α νο μι ας πα ρα τη ρη




Τὴν σὴν γεραίρομεν πάνσοφε, εὐανδρίαν πάντες, καὶ ψυχῆς στεῤῥότητα, Μαρία ἡ τῶν πιστῶν, ὁμοῦ ὁμήγυρις· ἐκήρυξας γὰρ τρανῶς, τὴν ἐκ νεκρῶν τοῦ Σωτῆρος Ἀνάστασιν, δι᾽ ἧς οἱ πάντες ἡμεῖς, τῇ εὐσεβείᾳ πιστῶς ἐστηρίχθημεν, καὶ πρὸς σὲ σεμνὴ βοῶμεν· μετὰ σοῦ ἡ δύναμις, τοῦ Κυρίου ὑπάρχει, ἔκτελοῦσα τὰ θαυμάσια.








Δεῦτε, Μοναστῶν ὁ σύλλογος, καὶ πιστῶν τὰ πλήθη, χαρμοσύνοις ᾄσμασι, τιμήσωμεν εὐλαβῶς, τὴν μνήμην σήμερον, Μαρίας Μαγδαληνῆς, τῆς κηρυξάσης εἰς πάντα τὰ πέρατα, Ἀνάστασιν τοῦ Χριστοῦ, θείαν καὶ πᾶσαν τὴν γῆν καταυγάσασαν, τοῖς θεογνωσίας λόγοις, ὡς Εὐαγγελίστρια· ἧς τῇ θεία πρεσβεία, Ἰησοῦ σῶσον τὸν κόσμον σου.

Καὶ τῆς Παρθενομάρτυρος Μαρκέλλης.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Στίχος. Α πο φυ λα κης πρω ι ας με χρι νυ κτος α πο φυ λα κης πρω ι ας ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι ον

Τῆς ἀθληφόρου Μαρκέλλης, τὴν μνήμη σήμερον, ἐν ἐτησίοις ὕμνοις, ἑορτάσωμεν πάντες, φιλέορτοι ἐνδόξως, ἥτις Χριστῷ τῷ Κυρίῳ παρίσταται, ἐκδυσωποῦσα ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου εὐφημούντων αὐτήν.

Στίχος. Ο τι πα ρα τω Κυ ρι ω το ε λε ος και πολ λη παρ αυ τω λυ τρω σις και αυ τος λυ τρω σε ται τον Ισ ρα ηλ εκ πα σω ων των α νο μι ων αυ

του ου ου

Ἡ νῆσος Χῖος καυχάσθω, ὅτι ἐξήνθησε, τὸ Παρθενίας ἄνθος, τὸ θεόβλαστον ὄντως, τὴν ἔνδοξον Μαρκέλλαν ἥπερ ἀεί, τῷ Κυρίῳ παρίσταται, ἐκδυσωπούσα ἀπαύστως ὑπὲρ αὐτῆς, παῤῥησίᾳ καὶ τοῦ κόσμου παντός.

Στίχος. Ἀι νει τε τον Κυ ρι ον παν τα τα ε θνη ε παι νε σα τε αυ το ον παν τες οι λα οι

Τὴν ἱερὰν καὶ λαμπράν σου, μνήμην δοξάζοντες, Μαρκέλλα μακαρία, καὶ πιστῶς ἐκτελοῦντες, βοῶμέν σοι σὺν πόθῳ ῥῦσαι ἡμᾶς, τῆς φλογὸς τῆς κολάσεως, καὶ τῶν βελῶν τοῦ βελίαρ ταῖς πρὸς Χριστόν, ἱκεσίαις σου πανεύφημε.

Στίχος. Ο τι ε κρα ται ω θη το ε λε ος αυ του εφ η μας και η α λη




Τὴν ἱερὰν καὶ λαμπράν σου, μνήμην δοξάζοντες, Μαρκέλλα μακαρία, καὶ πιστῶς ἐκτελοῦντες, βοῶμέν σοι σὺν πόθῳ ῥῦσαι ἡμᾶς, τῆς φλογὸς τῆς κολάσεως, καὶ τῶν βελῶν τοῦ βελίαρ ταῖς πρὸς Χριστόν, ἱκεσίαις σου πανεύφημε.

## Δόξα ἑσπερινοῦ τῆς Ἁγίας Μαρκέλλης

Ἦχος πλ. α΄ Πα




σιν ως α δα α α α μας στε ερ ρος μη η
ε ε εν δου ου ου ου ου ου ου ου ου σα και
την αυ του α νο ο σι ο ον τε και α θε
σμον μι ξιν α πο ο ο ο βα α λου ου ου σα
τους μα στου ους α α φη η ρη η ται αι και
την θε ο ο φρο να α κε φα α λην αυ τη
ης ε ε εκ τε ε τμη η η ται ο θεν
εκ δε ξι ων του Σω τη η ρος πα α ρε ε
ε ε ε στης ως παρ θε ε ε νος φρο ο ο νι
ι ι ι ι ι ι ι μη συν Ι σι δω ρω
ω τω ω θει ω και Με ρο ο πη τη η ε ε


εν δο ο ο ο ο ξω και τη Ο σι α
Ματρω ω νη τοις προ αυ της εν Χι ω δι ι ι α
λα α α αμ ψα α α α σι και προ στα α
ταις αυ τη ης γε νο ο με ε ε ε ε νοις δι
η νε ε κω ως πρε σβε ε ευ ου ου ου ου
πρε σβε ευ ου ου ου σα υ περ τω ων ψυ
χω ων η μω ω ω ων

## Τὸ Δογματικὸν Θεοτοκίον.

Ἦχος πλ. α' Πα

Και νυν και α ει και εις τους αι ω νας των

αι ω ω ω νων α α α α μην

Εν τη ε ρυ υ θρα θα α λα α α ασ

ση της α πει ρο γα μου ου νυ υ υμ φης ει ει

κων δι ι ε γρα α α α φη η πο ο ο

τε ε κει Μω υ σης δι αι ρε ε της του ου

υ υ υ δα α α α τος εν θα δε ε Γα α

βρι ι ι ηλ υ πη ρε τη ης του θα α α

α αυ μα α α α τος το τε τον βυ θον ε πε

ζε ευ σεν α βρο χως Ι ισ ρα α ηλ νυ

υ υν δε τον Χρι στον ε γεν νη η σεν α α σπο ο

ρως η Πα αρ θε ε ε νο ος η θα λα α

ασ σα α με τα την πα ρο δον του ου

Ι ισ ρα α ηλ ε ε μει νε εν α α α βα

α α α τος η α α α α α α α με ε ε

ε η α α με εμ πτο ο ο ο ο ο ο

ο ο ο ο ος με τα την κυ η σιν του Εμ μα

νου η ηλ ε μει ει νεν α α α α α φθο

ο ο ο ρος ο ω ω ω ων και αι προ ο ων

και φα νεις ως αν θρω ω πο ος Θε ε ος ε λε

η σο ο ο ν η μα α α α α α α ας

Εἴσοδος, Φῶς ἱλαρόν.

Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

Προκείμενον.
Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος πλ. δ΄ Νη

Ι δου δη ευ λο γει ει τε τον Κυ ρι ον παν τες οι δου ου λοι Κυ ρι ου (Δίς)

Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον. Ι δου δη ευ λο γει ει τε τον Κυ ρι ι ον παν τες οι δου ου λοι Κυ ρι ι ου ου ου ου ου ου ου

## Προκείμενον.
## Τῇ Δευτέρᾳ ἑσπέρας.
## Ἦχος δ΄.

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου

εν τω κε κρα γε ε ναι με προς αυ το

ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου

εν τω κε κρα γε ναι με προς αυ το ο

ον

Προκείμενον.

Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος πλ. α΄ Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

## Προκείμενον.
## Τῇ Τετάρτῃ ἑσπέρας.
### Ἦχος πλ. α' Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον
με και εν τη δυ να μει σου κρι νει ει ει εις
με (Δίς)

Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι
σου σω σον με και εν τη δυ να μει σου κρι
νει ει εις με ε ε

## Προκείμενον.
## Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος πλ. α' Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

## Προκείμενον.
## Τῇ Παρασκευῇ ἑσπέρας.

Ἦχος Βαρύς

Ο Θε ος αν τι λη πτωρ μου ει το ε
λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ
μου ει ει το ε λε ο ος σου προ φθα α σει με ε
ε

Εἶτα τὰ Ἀναγνώσματα.

## Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα
(Κεφ. 60, 1-16)

Φωτίζου, φωτίζου Ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. ἰδοὺ σκότος καλύψει γῆν ὡς γνόφος ἐπ᾽ ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται. καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου καὶ ἔθνη τῇ λαμπρότητί σου. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἰδὲ συνηγμένα τὰ τέκνα σου· ἰδοὺ ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ᾽ ὤμων ἀρθήσονται. τότε ὄψῃ καὶ φοβηθήσῃ καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης καὶ ἐθνῶν καὶ λαῶν. καὶ ἥξουσί σοι ἀγέλαι καμήλων, καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ καὶ Γαιφά· πάντες ἐκ Σαβὰ ἥξουσι φέροντες χρυσίον καὶ λίβανον οἴσουσι καὶ λίθον τίμιον καὶ τὸ σωτήριον Κυρίου εὐαγγελιοῦνται. καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθήσονταί σοι καὶ κριοὶ Ναβαιὼθ ἥξουσί σοι, καὶ ἀνενεχθήσεται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται. τίνες οἵδε ὡς

νεφέλαι πέτανται καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς; ἐμὲ αἱ νῆσοι ὑπέμειναν καὶ πλοῖα Θαρσὶς ἐν πρώτοις, ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν καὶ τὸν ἄργυρον καὶ τὸ χρυσὸν αὐτῶν μετ᾽ αὐτῶν διὰ τὸ ὄνομα Κυρίου τὸ ἅγιον καὶ διὰ τὸ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἔνδοξον εἶναι. καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι· διὰ γὰρ ὀργήν μου ἐπάταξά σε καὶ διὰ ἔλεον ἠγάπησά σε. καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διαπαντός, ἡμέρας καὶ νυκτὸς οὐ κλεισθήσονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν καὶ βασιλεῖς αὐτῶν ἀγομένους. τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς, οἵτινες οὐ δουλεύσουσί σοι, ἀπολοῦνται καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται. καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα, δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. καὶ πορεύσονται πρός σε δεδοικότες υἱοὶ τῶν ταπεινωσάντων σε καὶ παροξυνάντων σε, καὶ κληθήσῃ Πόλις Κυρίου Σιὼν ἁγίου Ἰσραήλ. διὰ τὸ γεγενῆσθαί σε ἐγκαταλελειμμένην καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν, καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν

γενεαῖς. καὶ θηλάσεις γάλα ἐθνῶν καὶ πλοῦτον βασιλέων φάγεσαι· καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος ὁ σῴζων σε καὶ ἐξαιρούμενός σε ὁ Θεὸς Ἰσραήλ.

## Προφητείας Ἰωὴλ τὸ Ἀνάγνωσμα

Τάδε λέγει Κύριος· Τὰ τέκνα Σιών, χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ Κυρίῳ τῷ Θεῷ ὑμῶν, ὅτι ἔδωκεν ὑμῖν τὰ βρώματα εἰς δικαιοσύνην, καὶ βρέξει ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, καθὼς ἔμπροσθεν, καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ οἴνου καὶ ἐλαίου, καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν, ὧν κατέφαγεν ἡ ἀκρίς, καὶ ὁ βροῦχος, καὶ ἡ ἐρυσίβη, καὶ ἡ κάμπη, καὶ ἡ δύναμίς μου ἡ μεγάλη, ἣν ἐξαπέστειλα εἰς ὑμᾶς, καὶ φάγεσθε ἐσθίοντες, καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὃς ἐποίησε μεθ᾽ ὑμῶν θαυμάσια, καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα. Καὶ ἐπιγνώσεσθε, ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ, καὶ οὐ μὴ καταισχυνθῇ ἔτι ὁ λαός μου εἰς τὸν αἰῶνα. Καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν, ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. Καί γε ἐπὶ τοὺς δούλους μου

καὶ ἐπὶ τὰς δούλας μου, ἐν ταῖς ἡμέραις ἐκείναις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσι, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τήν ἡμέραν Κυρίου τὴν μεγάλην, καὶ ἐπιφανῆ, καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρίνε πάντα ὑγιῶς· ἄνοιγε σὸν στόμα, καὶ κρίνε δικαίως. Διάκρινε δὲ πένητα καὶ ἀσθενῆ· γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν ἡ τοιαύτη· θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς. Ἡ τοιαύτη σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ αὐτῆς ἀγαθὰ καὶ οὐκ κακά. Πάντα τὸν χρόνον εὑραμένη ἔρια καὶ λῖνον, ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς· ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν. Συνάγει ἑαυτῆς τὸν πλοῦτον· καὶ ἀνίσταται ἐκ νυκτὸς, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο· ἀπὸ δὲ τῶν καρπῶν τῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα· ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον· ἐγεύσατο ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ οὐ σβέννυται ὁ λύχνος αὐτῆς, ὅλην τὴν νύκτα. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα. Τοὺς πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρα δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ· οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν ποῦ χρονίζῃ.

Πάντες γὰρ οἱ παρ' αὐτῇ, ἐνδεδυμένοι εἰσι. Δισσὰς στολὰς καὶ χλαίνας, ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς· ἡνίκα ἐὰν κάθηται ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων, καὶ κατοίκων τῆς γῆς· σινδόνας ἐποίησε, καὶ ἀπέδοτο τοῖς φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις· ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα δὲ αὐτῆς διήνοιξε προσεχόντως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς· στεναὶ διατριβαὶ οἴκων αὐτῆς· σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν· ἀνέστη τὰ τέκνα αὐτῆς καὶ ᾔνεσαν αὐτήν. Καὶ ὁ ἀνὴρ αὐτῆς ἐπῄνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν· πολλαὶ ἐκτήσαντο πλοῦτον· πολλαὶ εὗρον δόξαν. Σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικῶν οὐκ ἔστιν ἐν σοί. Γυνὴ γὰρ συνετὴ εὐλογεῖται· φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε, ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ

ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς

τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ

Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ

παραθώμεθα.

Σοὶ, Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοὶ, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων

πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὴν Λιτήν,
Στιχηρὸν Ἰδιόμελον.

Ἦχος α' Πα

Πνευματικοῖς ᾄσμασι τὴν Μυροφόρον τοῦ Χριστοῦ ἅπαντες εὐφημήσωμεν, Μαρίαν τὴν Μαγδαληνὴν· αὕτη γὰρ τὴν ἀχλὺν τῆς ἀθυμίας, τῶν Ἀποστολικῶν προσώπων ἐξηφάνισεν, ὁ Χριστὸς ἀνέστη πρὸς αὐτοὺς ἐκβοήσασα καὶ νῦν τῷ ποθουμένῳ ἐπαπολαύουσα τρισηλίῳ φωτί, ἐκτενῶς ἱκετεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν, τῶν ἐκ πόθου ἑορταζόντων, τὴν παναγίαν αὐτῆς κοίμησιν.

Πλαγίου Τετάρτου.

Ἦχος Νη




Πα ρασχου Κυ ρι ε
Υ περ α γι α Θε ο το κε σωσον η
μας
Σοι οι οι οι οι οι οι οι οι οι Κυ υ
υ υ ρι ε
Α μην
Ἦχος Ἐναρμόνιος
Κυ ρι ε ε ε λε ε η σον
Κυ ρι ε ε λε η σον
Κυ υ ρι ε ε λε η η σον
Κυ ρι ε ε ε λε ε η η σον


Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

## 22-07- ΕΣΠΕΡΙΝΟΣ ΤΗΣ ΑΓΙΑΣ ΜΑΓΔΑΛΗΝΗΣ ϗ ΑΓΙΑΣ ΜΑΡΚΕΛΛΗΣ

### Εἰς τὴν Ἀρτοκλασίαν.
### Ἐπιλογές παρά διαφόρων Διδασκάλων




### ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ. Α'



## Θεοτόκε Παρθένε.

Ἦχος πλ. α' Κε




ω ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Τὸ τέλος τοῦ τρίτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

## Ἀπόστιχα.

### Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Τοῖς χοροῖς συνηρίθμησαι, τῶν Μαρτύρων ἀοίδιμε, Μαρκέλλα πολύαθλε καὶ πανέντιμε. Τοῦ γὰρ πατρός σου τὴν ἄθεσμον, βουλὴν καὶ ἀνόσιον, βδελυχθεῖσα ὡς ἁγνή, τὸν αὐχένα ὑπέκλινας, καὶ τὴν κάραν σου, ἀπετμήθης καὶ εἴληφας ἀξίως, τῆς ἀθλήσεως τὸ στέφος, ἅτε νομίμως ἀθλήσασα

Στίχ: Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Τῶν βασάνων αἱ λαίλαπες, τῆς ψυχῆς σου οὐκ ἔσεισαν, τὸν πύργον τὸν ἄσειστον καὶ ἀκλόνητον, Μάρτυς Μαρκέλλα στεῤῥόψυχε, ἀλλ' ἔμεινας ἄτρεπτος, ἐπὶ πέτραν τὴν στεῤῥάν, τοῦ τὰ πάντα ἰσχύοντος, καὶ συνέχοντος, θερμὴν ὄντως· διό σε πανολβία, πρέσβυν εἰς Θεὸν πλουτοῦμεν, οἱ σὲ τιμῶντες ἐν ᾄσμασι.

Στίχ: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθηνε τὰ διαβήματά μου.

Ἐφοινίχθης τοῖς αἵμασι, τῆς σαρκός σου ἀοίδιμε, ἅπερ ἐξεχύθησαν καὶ γεγόνασι, τῶν ἀσθενούντων ὡς φάρμακα, ποικίλας ἰώμενα,

ἀσθενείας τῶν βροτῶν, ὦ Μαρκέλλα πανεύφημε· ὅθεν ἵσταμαι, τῇ σορῷ τῶν λειψάνων καὶ βοῶ σοι· καλλιμάρτυς τοῦ Κυρίου, καμοὶ τὴν ἴασιν δώρησαι.

## Δόξα τῶν ἀποστίχων τῆς Ἁγίας Μαρκέλλης

### Ἦχος Δι




κας παν θα α α α α αυ μα α α α στε
και την ε ρι τι ι ι μον σου ου κε φα α
λην υ περ τη ρη σε ε ω ως α κρι βους
του θει ει ου ου νο μου συν τοις μα στοι οι οις
α α πε τμη η η η θης ε λε εγ χου ου ου
σα α αυ του το της α κο λα σι ι ι ι
α α ας ξε νη η η η κου στον το ο ο
ο ο ολ μη η η η μα ο ο θεν ω ω
ω παρ θε ε νος με τα των φΡο νι ι μων συν
α γα α α αλ λη πα α αρ θε ε ε ε ε
νος και ως του νο ο μου φυ λα α ξ α κρι ι βης


με τα των Μακ κα βαι αι αι ων και του θει
ου ου ου προ Προ ο μου συ υ υν δο ο ξα
α α ζει μεθ ω ων πρεσβε ευ ε υ περ
τωωνψυ χω ω ω ω ω ω ωων η μων

## Καὶ νῦν. Θεοτοκίον τῶν Ἀποστίχων
## Μέλος Στιχηραρικὸν Ἀργοσύντομον
## Ἦχος Δι

Και νυν και α ει και εις τους αι ω νας
των αι ω νων α α μην

Ω θαυ μα τος και νου πα αν των των πα
α λαι θαυ μα α των τις γαρ ε γνω μη τε ρα
α νευ αν δρος τε ε το ο κυι αν και εν αγ
γα λαις φε ρου σαν τον α πα σαν την κτι σιν
πε ρι ε χο ο ο ον τα Θε ου ε στι βου
λη το ο κυ η η θεν ον ως βρε φος Πα να γνε
σαις ω λε ναις βα στα σα σα και μη τρι κην

παρ ρη σι αν προς αυ τον ε κτη με ε ε ε

νη μη παυ ση δυ σω που σα υ περ των

σε τι μων των του οι κτει ρη σαι και σω ω σαι

τας ψυ χα α ας η η η η μω ω ω

ων

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γʹ).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεὺς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## Ἀπολυτίκιον Τῆς Ἁγίας Μαγδαλινῆς.
## Ἦχος α΄. Χορὸς Ἀγγελικός

Χριστῷ τῷ δι΄ ἡμᾶς, ἐκ Παρθένου τεχθέντι, Σεμνὴ Μαγδαληνή, ἠκολούθεις Μαρία, Αὐτοῦ τὰ δικαιώματα, καὶ τοὺς νόμους φυλάττουσα, ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἀνευφημοῦμέν σε πίστει, καὶ πόθῳ γεραίρομεν.



## Ἀπολυτίκιον τῆς Ἁγίας Μαρκέλλης.

### Ἦχος α΄. Τοῦ λίθου σφαγισθέντος.



ξα τω ε νερ γουν τι δι α σου πα σιν ι

α α μα α τα


Και νυν και α ει και εις τους αι ω
νας των αι ω νων α μην
Θεοτοκίον.
Του Γα βρι ηλ φθεγ ξα με νου σοι Παρ
θε νε το χαι αι ρε συν τη φω νη ε σαρ κου
το ο των ο ο λων Δε σπο της εν σοι τη α
γι α Κι βω τω ως ε φη ο δι και ος Δα βιδ
ε δει χθης πλα τυ τε ε ρα των ου ρα νων βα
στα σα σα τον Κτι στην σου δο ξα τω ε νοι
κη σαν τι εν σοι δο ξα τω προ ελ θο ον
τι εκ σου δο ξα τω ε λευ θε ρω σαν τι η μας
δι α του το κου σου ου ου

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον (γ´), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, ἧς τὴν Κοίμησιν καὶ τὴν εἰς οὐρανούς ματάστασιν

ἑορτάζομεν, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.